UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Antiochio Spadoni. 36.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

tanquam corona cingit, quódque Deus pro caduco imperio, iis, qui præclarè atque honestè istud administrarint, præmij loco constituit, potentiam tuam mansuetudine ac suauitate tempera; conuenientíque dispersione onus diuitiarum leua. Psal. 32. Neque enim saluatur Rex per multam potentiam: neque impij simulachrorum Auarus idololatra. cultus crimen effugit, qui fluxis opibus Ephes. 5. parcit.

ἔπαθλον τῆς φθαρτῆς τοῖς χρηστῶς αὐτὴν διέπουσιν ἔθηκεν ὁ θεὸς, ἡμερότητι κίρνα τὴν ἐξουσίαν, καὶ δέοντι σκορπισμῷ τὸ βάρος κούφιζε τοῦ πλούτου· οὔτε γὰρ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, οὔτε εἰδωλολατρείας ἐκφεύγει ἀσέβειαν, ὁ τοῦ ῥέοντος πλούτου φειδόμενος.

*Antiocho Spadoni. 36.*

Operæpretium est te, cùm sacros libros euoluas, atque in eorum, vt audio, lectione assiduè hæreas, admirandi Danielis historiam nosse: nempè quòd, cùm in mediis erroris fluctibus versaretur, nullum Dan. 1. tamen captiui hominis affectum subiit, ne ad cibos quidem communes vsque, quorum perceptio eos, qui iis fruerentur, contaminabat. Ac quoniam non modò Imperij minister es, sed ipsum etiam arbitratu tuo ac libitu moderaris; in id omni studio ac diligẽtia incumbe, vt iustitiam in morbum prolapsam, imò, vt rectius loquar, iam extremos spiritus edentem, confirmes: vt iustum tribunal tibi placidum ac benignum inuenias: etiamsi nunc ipsius tibi haud crebrò in mentem venit, immodicæ videlicet rerum humanarum pompæ admiratione perculso.

Ἀντιόχῳ εὐνούχῳ παλατίου. λϛ.

Χρὴ σε τὰς ἱερὰς ἀναπτύσσοντα βίβλους, καὶ τῇ αὐτῶν ἐγκαρτεροῦντα, ὥς φασιν, ἀναγνώσει, τὴν κατὰ τὸν θαυμάσιον Δανιὴλ ἱστορίαν εἰδέναι, ὅτι μέσος τοῦ κλύδωνος τῆς πλάνης ἱστάμενος, οὐδὲν ὑπέμεινε πάθος αἰχμάλωτον, οὐδὲ μέχρι σιτίων τῶν κοινῶν εἰς μετάληψιν, καὶ μὴ κοινούντων κατὰ πείρασιν τοὺς μετέχοντας. καὶ ἐπειδὴ οὐ μόνον διάκονος τυγχάνεις τῆς βασιλείας, ἀλλὰ καὶ ἄγεις αὐτὴν καθὼς βούλει, σπεῦσον ἀναῤῥῶσαι τὸ δίκαιον καταπεσὸν πρὸς ἀσθένειαν, ἢ μᾶλλον πρὸς αὐτὸν ὑπάρχον τὸν θάνατον, ἵνα τὸ δίκαιον εὕρῃς εὐμενὲς δικαστήριον, εἰ καὶ νῦν αὐτοῦ πολλάκις σοι ἐνθύμησις οὐχ ὑπάρχεται, ὑπὸ τῆς ὑπερφυοῦς φαντασίας ἐπτοημένῳ.

*Eusebio Episcopo. 37.*

Condis quidem, vt aiunt, Ecclesiam in Pelusio, machinis quidem ac molitionibus luculentam, sed improbis studiis & sacrarum electionum pretiis, & iniuriis atque contumeliis, & tenuiorum oppressionibus, & pauperum sumptibus. Id quod Mich. 3. nihil aliud est, quàm ædificare Sion in sanguinibus, & Hierusalem in iniustitiis. Deus porrò sacrificio ex alienis bonis conflato nihil opus habet; verùm illud, perinde atque eum, qui canem mactat, execra- Esa. 66. tur. Quæ cùm ita sint, & ædificare, & iniuriam aliis inferre desine: ne alioqui domus illa te apud Deum prodat & conuin-

Εὐσεβίῳ ἐπισκόπῳ. λζ.

Κτίζεις, ὥς φασιν, ἐκκλησίαν ἐν Πηλουσίῳ, λαμπρὰν μὲν τοῖς μηχανήμασι, πονηροῖς δὲ τοῖς ἐπιτηδεύμασι χειροτονιῶν τιμήμασι, καὶ ἀδικίαις, καὶ ὕβρεσι, καὶ πενήτων ἐκπιεσμοῖς, καὶ πτωχικοῖς δαπανήμασιν, ὅπερ οὐδέν ἐστιν ἕτερον, ἢ οἰκοδομεῖν Σιὼν ἐν αἵμασι, καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις. οὐ χρῄζει δὲ ὁ θεὸς ἐξ ἀλλοτρίων θυσίαν, ἀλλὰ ταύτην ὡς θυόμενον κύνα μυσάττεται. παῦσαι τοίνυν καὶ κτίζων καὶ ἀδικῶν, ἵνα μὴ εἰς ἔλεγχόν σοι παρὰ τὸ θεοῦ ὁ οἶκος ἐκεῖνος εὑρεθῇ. μετέωρος

μὲν